καὶ τοῖς δὲ πείρᾳ καὶ λόγῳ προὐγνωσμένοις,
αἱρεῖν δεόντως τήνδε· πῶς οὖν ἀξίως
Ἰατρὸς ἂν κρίνοιτο καὶ λέγοιθ' ὅλως
ὁ μηδὲν εἰδώς, οὐδὲ μὴν νοσημάτων
ξυμπτώματα γνούς, οὐ φυήν, οὐδ' αἰτίαν,
οὐ φαρμάκων χρῆσίν τε καὶ τούτων φύσιν;
εἰ μὴ πρεπόντως καὶ βρέτας βροτὸν λέγοις.

Ἄλλο.

Οὐκ ἔστι δήπου παντὸς ἀλθαίνειν νόσους
ἀσκεῖν τε τέχνην, ἀλλά γ' εἰδότος μόνου.

Ἄλλο.

Ἄμπλακε καὶ πολύϊδρις ἀμύμων τ' ἔσθ' ὅτ' Ἀκέσωρ
ἄλθε' ἄκαιρα φέρων, ἢ νόσον ἀγνοέων·
Ὅς δέκε πάμπαν ἄϊδρις ἐὼν νόσον ἀλθέμεν ἔτλη,
Πῶς κεν ἂρ ἀμφοτέρας φεύξεται ἀμπλακίας;

Ἄλλο.

Δύσμορος ὅς κεν τλαίη Ἀκεστορίης τιν' ἄϊδριν
οἴκονδ' ἐσκαλέειν ἀργαλέως νοσέων·
τοῦ γὰρ ὅγ' ἀφραδίῃσιν ἀεικέσι τ' ἄλθεσιν ἕξει
ἢ νοῦσον δολιχήν, ἢ μόρον ὠκύτερον.

Ἄλλο.

Ἰατρὸν αἰνέσαιμι τὸν δεινὰς νόσους
ἢ καὶ δυσαλθεῖς δρῶντ' ἄγαν εὐαλθέας,